Od.9.336 ἑσπέριος δ´ ἦλθεν καλλίτριχα μῆλα νομεύων·
Od.9.337 αὐτίκα δ´ εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα,
Od.9.338 πάντα μάλ´, οὐδέ τι λεῖπε βαθείης ἔντοθεν αὐλῆς,
Od.9.339 ἤ τι ὀϊσάμενος, ἢ καὶ θεὸς ὣς ἐκέλευσεν.
Od.9.340 αὐτὰρ ἔπειτ´ ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ´ ἀείρας·
Od.9.341 ἑζόμενος δ´ ἤμελγεν ὄϊς καὶ μηκάδας αἶγας,
Od.9.342 πάντα κατὰ μοῖραν, καὶ ὑπ´ ἔμβρυον ἧκεν ἑκάστῃ.
Od.9.343 αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
Od.9.344 σὺν δ´ ὅ γε δὴ αὖτε δύω μάρψας ὁπλίσσατο δόρπον.
Od.9.345 καὶ τότ´ ἐγὼ Κύκλωπα προσηύδων ἄγχι παραστάς,
Od.9.346 κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος οἴνοιο·
Od.9.347 ‘Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα,
Od.9.348 ὄφρ´ εἰδῇς, οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκεύθει
Od.9.349 ἡμετέρη· σοὶ δ´ αὖ λοιβὴν φέρον, εἴ μ´ ἐλεήσας
Od.9.350 οἴκαδε πέμψειας· σὺ δὲ μαίνεαι οὐκέτ´ ἀνεκτῶς.
Od.9.351 σχέτλιε, πῶς κέν τίς σε καὶ ὕστερον ἄλλος ἵκοιτο
Od.9.352 ἀνθρώπων πολέων; ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας.’
Od.9.353 ὣς ἐφάμην, ὁ δὲ δέκτο καὶ ἔκπιεν· ἥσατο δ´ αἰνῶς
Od.9.354 ἡδὺ ποτὸν πίνων καί μ´ ᾔτεε δεύτερον αὖτις·
Od.9.355 ‘δός μοι ἔτι πρόφρων καί μοι τεὸν οὔνομα εἰπὲ
Od.9.356 αὐτίκα νῦν, ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίρῃς.
Od.9.357 καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα
Od.9.358 οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει·
Od.9.359 ἀλλὰ τόδ´ ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.’
Od.9.360 ὣς ἔφατ´· αὐτάρ οἱ αὖτις ἐγὼ πόρον αἴθοπα οἶνον·
Od.9.361 τρὶς μὲν ἔδωκα φέρων, τρὶς δ´ ἔκπιεν ἀφραδίῃσιν.
Od.9.362 αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἤλυθεν οἶνος,
Od.9.363 καὶ τότε δή μιν ἔπεσσι προσηύδων μειλιχίοισι·
Od.9.364 ‘Κύκλωψ, εἰρωτᾷς μ´ ὄνομα κλυτόν; αὐτὰρ ἐγώ τοι
Od.9.365 ἐξερέω· σὺ δέ μοι δὸς ξείνιον, ὥς περ ὑπέστης.
Od.9.366 Οὖτις ἐμοί γ´ ὄνομα· Οὖτιν δέ με κικλήσκουσι
Od.9.367 μήτηρ ἠδὲ πατὴρ ἠδ´ ἄλλοι πάντες ἑταῖροι.’
Od.9.368 ὣς ἐφάμην, ὁ δέ μ´ αὐτίκ´ ἀμείβετο νηλέϊ θυμῷ·
Od.9.369 ‘Οὖτιν ἐγὼ πύματον ἔδομαι μετὰ οἷσ´ ἑτάροισι,

Od.9.370 τοὺς δ᾽ ἄλλους πρόσθεν· τὸ δέ τοι ξεινήϊον ἔσται.’
Od.9.371 ἦ, καὶ ἀνακλινθεὶς πέσεν ὕπτιος, αὐτὰρ ἔπειτα
Od.9.372 κεῖτ᾽ ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν ὕπνος
Od.9.373 ᾕρει πανδαμάτωρ· φάρυγος δ᾽ ἐξέσσυτο οἶνος
Od.9.374 ψωμοί τ᾽ ἀνδρόμεοι· ὁ δ᾽ ἐρεύγετο οἰνοβαρείων.
Od.9.375 καὶ τότ᾽ ἐγὼ τὸν μοχλὸν ὑπὸ σποδοῦ ἤλασα πολλῆς,
Od.9.376 εἷος θερμαίνοιτο· ἔπεσσι δὲ πάντας ἑταίρους
Od.9.377 θάρσυ̱νον, μή τίς μοι ὑποδδείσας ἀναδύ̱η.
Od.9.378 ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ὁ μοχλὸς ἐλά̱ϊνος ἐν πυρὶ μέλλεν
Od.9.379 ἅψασθαι, χλωρός περ ἐών, διεφαίνετο δ᾽ αἰνῶς,
Od.9.380 καὶ τότ᾽ ἐγὼν ἆσσον φέρον ἐκ πυρός, ἀμφὶ δ᾽ ἑταῖροι
Od.9.381 ἵσταντ᾽· αὐτὰρ θάρσος ἐνέπνευσεν μέγα δαίμων.
Od.9.382 οἱ μὲν μοχλὸν ἑλόντες ἐλά̱ϊνον, ὀξὺν ἐπ᾽ ἄκρῳ,
Od.9.383 ὀφθαλμῷ ἐνέρεισαν· ἐγὼ δ᾽ ἐφύπερθεν ἐρεισθεὶς
Od.9.384 δί̱νεον, ὡς ὅτε τις τρυ̱πᾷ δόρυ νήϊον ἀ̱νὴρ
Od.9.385 τρυ̱πάνῳ, οἱ δέ τ᾽ ἔνερθεν ὑποσσείουσιν ἱμάντι
Od.9.386 ἁψάμενοι ἑκάτερθε, τὸ δὲ τρέχει ἐμμενὲς αἰεί·
Od.9.387 ὣς τοῦ ἐν ὀφθαλμῷ πυριήκεα μοχλὸν ἑλόντες
Od.9.388 δι̱νέομεν, τὸν δ᾽ αἷμα περίρρεε θερμὸν ἐόντα.
Od.9.389 πάντα δέ οἱ βλέφαρ᾽ ἀμφὶ καὶ ὀφρύας εὗσεν ἀϋ̱τμὴ
Od.9.390 γλήνης καιομένης· σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι.
Od.9.391 ὡς δ᾽ ὅτ᾽ ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν ἠὲ̱ σκέπαρνον
Od.9.392 εἰ̱ν ὕδατι ψυ̱χρῷ βάπτῃ μεγάλα̱ ἰάχοντα
Od.9.393 φαρμάσσων· τὸ γὰρ αὖτε σιδήρου γε κράτος ἐστίν·
Od.9.394 ὣς τοῦ σίζ᾽ ὀφθαλμὸς ἐλα̱ϊνέῳ περὶ μοχλῷ.
Od.9.395 σμερδαλέον δὲ μέγ᾽ ᾤμωξεν, περὶ δ᾽ ἴ̱αχε πέτρη,
Od.9.396 ἡμεῖς δὲ̱ δείσαντες ἀπεσσύμεθ᾽. αὐτὰρ ὁ μοχλὸν
Od.9.397 ἐξέρυσ᾽ ὀφθαλμοῖο πεφυρμένον αἵματι πολλῷ.
Od.9.398 τὸν μὲν ἔπειτ᾽ ἔρριψεν ἀπὸ̱ ἕο χερσὶν ἀλύ̱ων,
Od.9.399 αὐτὰρ ὁ Κύκλωπας μεγάλ᾽ ἤπυεν, οἵ ῥά μιν ἀμφὶς
Od.9.400 ᾤκεον ἐν σπήεσσι δι᾽ ἄκριας ἠνεμοέσσα̱ς.
Od.9.401 οἱ δὲ βοῆς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος,
Od.9.402 ἱστάμενοι δ᾽ εἴροντο περὶ σπέος, ὅττι ἑ κήδοι·
Od.9.403 ‘τίπτε τόσον, Πολύφημ᾽, ἀ̱ρημένος ὧδ᾽ ἐβόησας

Od.9.404 νύκτα δι᾽ ἀμβροσίην καὶ ἀΰπνους ἄμμε τίθησθα;
Od.9.405 ἦ μή τίς σευ μῆλα βροτῶν ἀέκοντος ἐλαύνει;
Od.9.406 ἦ μή τίς σ᾽ αὐτὸν κτείνει δόλῳ ἠὲ βίηφι;'
Od.9.407 τοὺς δ᾽ αὖτ᾽ ἐξ ἄντρου προσέφη κρατερὸς Πολύφημος·
Od.9.408 'ὦ φίλοι, Οὖτίς με κτείνει δόλῳ οὐδὲ βίηφιν.'
Od.9.409 οἱ δ᾽ ἀπαμειβόμενοι ἔπεα πτερόεντ᾽ ἀγόρευον·
Od.9.410 'εἰ μὲν δὴ μή τίς σε βιάζεται οἶον ἐόντα,
Od.9.411 νοῦσόν γ᾽ οὔ πως ἔστι Διὸς μεγάλου ἀλέασθαι,
Od.9.412 ἀλλὰ σύ γ᾽ εὔχεο πατρὶ Ποσειδά̱ωνι ἄνακτι.'
Od.9.413 ὣς ἄρ᾽ ἔφαν ἀπιόντες, ἐμὸν δ᾽ ἐγέλασσε φίλον κῆρ,
Od.9.414 ὡς ὄνομ᾽ ἐξαπάτησεν ἐμὸν καὶ μῆτις ἀμύ̱μων.